UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Seueriani episcopi.

**urn:nbn:de:hbz:466:1-15062**

Visual Library

ne factus est Deus; sed Verbum existens, natura propria ob sui impatibilitatem manente indemutata, factum est caro. Adiungit demum: Qui in solio sublimi præcelsoque considet, is in præsepio ponitur: qui impalpabilis, simplex, ac incorporeus est, humanis manibus contrectatur: qui peccatorum vincula disrumpit, fasciis constringitur.

λόγος ὢν διὰ τὸ ἀπαθές, σὰρξ ἐγένετο, ἀμεταβλήτου μενούσης τῆς φύσεως. καὶ προσεπάγει τούτοις· ὁ ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου καθήμενος, ἐν φάτνῃ τίθεται· ὁ ἀναφὴς, καὶ ἁπλοῦς, καὶ ἀσώματος, χερσὶν ἀνθρωπίναις εἱλίσσεται· ὁ τὰ τῆς ἁμαρτίας διασπῶν δεσμὰ, σπαργάνοις ἐμπλέκεται.

### *Seueriani episcopi.*

QVANDOQVIDEM Verbum quod superne arcana quadam inexplicabilique, ac incomprehensa ratione ex Deo Patre ab omni æternitate nascitur, idipsum inferne ex Virgine Maria in tempore generatur; quo hi nimirum, qui nati erant inferne, ex Deo renascantur denuo superne.

### Σεβηριανοῦ ἐπισκόπου.

ΟΓΑΡ γεννηθεὶς ἄνωθεν ἐκ πατρὸς λόγος, ἀπορρήτως, ἀφράστως, ἀκαταλήπτως, ἀϊδίως, ὁ αὐτὸς ἐν χρόνῳ γεννᾶται κάτωθεν ἐκ παρθένου Μαρίας· ἵνα οἱ πρότερον γεννηθέντες κάτωθεν, ἄνωθεν γεννηθῶσιν ἐκ * δευτέρας, τουτέστι θεοῦ.

* [illegible]

### *Vitalii episcopi, ex sermone de fide.*

CREDIMVS adhæc, quod quidem ad saluatoris nostri dispensationem secundum carnem attinet, incarnationem, Dei Verbo immutabili inconuertibilique permanente, ad humanæ naturæ instaurationem factam esse. Nam cum illud secundum æternam ex Deo Patre originem verus Dei Filius sit, secundum eam quæ est ex Virgine factum est Filius hominis. Estq; vnus & idem secundum diuinitatē Filius perfectus, & Patri consubstantialis; & idem rursum secundum generationem ex Virgine perfectus homo, eiusdem cum ceteris hominibus essentiæ secundum carnem. Si quis autem dixerit Christi corpus e cælo deportatum esse, aut carnem quam habet, Deo consubstantia-

### Οὐιταλίου ἐπισκόπου, ἐκ τοῦ περὶ πίστεως λόγου.

ΕΤΙ δὲ καὶ περὶ τῆς κατὰ σάρκα οἰκονομίας τοῦ σωτῆρος πιστεύομεν, ὅτι ἀναλλοιώτου καὶ ἀτρέπτου μένοντος τοῦ θεοῦ λόγου, τὴν σάρκωσιν γεγενῆσθαι πρὸς ἀνακαίνισιν ἀνθρωπότητος. υἱὸς γὰρ ὢν ἀληθῶς θεοῦ κατὰ τὴν ἀΐδιον ἐκ θεοῦ γέννησιν, γέγονε καὶ υἱὸς ἀνθρώπου κατὰ τὴν ἐκ παρθένου γέννησιν. καὶ ἔστιν εἷς καὶ ὁ αὐτὸς τέλειος θεὸς κατὰ τὴν θεότητα, καὶ ὁμοούσιος τῷ πατρί· καὶ τέλειος ἄνθρωπος ὁ αὐτὸς κατὰ τὴν ἐκ παρθένου γέννησιν, καὶ ὁμοούσιος ἀνθρώποις κατὰ τὴν σάρκα. εἴ τις δὲ ἐξ οὐρανοῦ λέγει σῶμα ἔχειν τὸν Χριστὸν, ἢ ὁμοούσιον τῷ θεῷ κατὰ τὴν σάρκα,